ὡς ἐν δευτέρῳ τῶν Φυσικῶν. Ἐπλανήθησαν δέ τινες, καὶ δύο ἀρχὰς ἔθεντο ἐκ τοῦ μὴ ἐννοῆσαι τὴν καθόλου αἰτίαν ὅλου τοῦ ὄντος ἀλλὰ τὰς μερικὰς αἰτίας τῶν μερικῶν ἀποτελεσμάτων, καὶ ἐκ τοῦ τὴν περὶ τοῦ ἀγαθόν τι εἶναι κρίσιν μὴ λαβεῖν καθ' αὑτὸ καὶ κατὰ τὴν πρὸς τὸ ὅλον τάξιν, ἀλλὰ κατὰ τὴν πρός τι μερικὸν τάξιν· πᾶν δέ, εἰ καὶ τῇ μερικῇ τάξει ἐνδέχεται μὴ συμφωνεῖν ποτε, ἀλλ' ἐν τῷ ὅλῳ τεταγμένως τὴν ἑαυτοῦ χώραν κατέχει. Εἰ δὲ οὐκ ἔστιν ἐπ' ἄπειρον προϊέναι ἐν ταῖς τῶν κακῶν αἰτίαις, οὐκ ἀνάγκη τιθέναι ἓν πρῶτον κακόν, τῶν ἄλλων αἴτιον, ἀλλὰ δεῖ αὐτὰ εἴς τινα αἰτίαν ἀνάγειν· αὕτη δ' ἂν εἴη ἡ πάντων τῶν ὄντων αἰτία καὶ ἀγαθῶν, ἀγαθὴ οὖσα, ἐξ ἧς προΐασι καὶ τὰ κακὰ κατὰ συμβεβηκός, ὡς προείρηται.

## Traité des anges.

### L. — Περὶ τῶν ἀγγέλων ἀπολελυμένως.

1. Ὅτι ὁ ἄγγελος πάντη ἐστὶν ἀσώματος, ὡς ἐν τοῖς Ψαλμοῖς λέγεται· „Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα". Ζητεῖται γὰρ πρὸς τὴν τοῦ παντὸς τελειότητα εἶναί τινα καὶ νοερὰ κτίσματα· τὸ δὲ νοεῖν οὐκ ἔστιν ἐνέργεια σώματος, οὔτε τινὸς δυνάμεως σωματικῆς· πᾶν γὰρ σῶμα ἐνταῦθα καὶ νῦν ὁρίζεται.

2. Ὅτι οὐκ ἔστι σύνθετος ἐξ ὕλης καὶ εἴδους. Ἀδύνατον γὰρ τὴν νοερὰν οὐσίαν οἱᾳδήποτε ὕλῃ συνεῖναι, διότι ἡ ἐνέργεια τῷ τρόπῳ τῆς οὐσίας τοῦ πράγματος συνᾴδει· τὸ δὲ νοεῖν, ἐνέργεια πάντη ἄϋλος, ὃ δῆλον ἐκ τοῦ ταύτης ἀντικειμένου, παρ' οὗ πᾶσα ἐνέργεια τὸ εἶδος δέχεται καὶ τὸν λόγον. Οὕτω δὲ ἕκαστον νοεῖται, καθὸ τῆς ὕλης χωρίζεται· καὶ γὰρ τῶν ἐν ὕλῃ ἀτόμων εἰδῶν ὁ νοῦς οὐκ ἐπιλαμβάνεται καθόσον εἰσὶ
f. 221 τοιαῦτα. Ὅθεν ἡ νοερὰ οὐσία καὶ ἄϋλος. | Ἔστι μέντοι γε ἐν τῷ ἀγγέλῳ δύναμις καὶ ἐνέργεια καὶ ἡ κατ' αὐτὰς σύνεσις, ᾗ φασί τινες συγκεῖσθαι τὸν ἄγγελον ἐκ τοῦ ᾧ ἔστιν καὶ ὅ ἐστιν, ἢ τοῦ εἶναι καὶ τοῦ ὅ ἐστιν, ἃ ἐν τῷ Θεῷ μόνῳ οὐ διενήνοχεν, ὃς μόνος ἐνέργεια καθαρά.

3. Ὅτι οἱ ἄγγελοι ἐν πλήθει εἰσὶ πολλῷ, ὡς ἐν τῷ Δανιὴλ λέγεται· „Χίλια χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ", διότι ὅσῳ τινὰ μᾶλλόν εἰσι τέλεια, τοιοῦτον παρὰ Θεοῦ ἐν μείζονι ὑπερβολῇ δεδημιούργηνται. Ὥσπερ δὲ ἐν τοῖς σώμασι κατὰ τὸ μέγεθος ἡ ὑπερβολή, οὕτως ἐν τοῖς ἀσωμάτοις κατὰ πλῆθος δύναται εἶναι. Ὁρῶμεν δὲ τὰ ἄφθαρτα σώματα, τελειότερα τῶν σωμάτων ὄντα, ἀσυγκρίτως κατὰ μέγεθος ὑπερβάλλοντα τῶν σωμάτων τῶν φθαρτῶν· ἡ γὰρ ὅλη σφαῖρα

---

15 En marge, titre en rouge: *Περὶ τῶν ἀγγέλων ἁπλῶς* 17 Ps. 103, 4
32 Dan. 7, 11

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῶν ποιητικῶν καὶ παθητικῶν μικρόν τί ἐστι πρὸς τὸ οὐράνιον σῶμα. Ὅθεν εὔλογον καὶ τὰς ἀΰλους οὐσίας πλήθει τὰς ὑλικὰς ὑπερβάλλειν ὥσπερ ἀσυγκρίτῳ.

4. Ὅτι οἱ ἄγγελοι διαφέρουσιν εἴδει· ἐν οἷς γὰρ τὸ πρότερον καὶ ὕστερον ὁπωσοῦν καὶ ἡ τάξις, οὐκ εἰσὶν ἑνὸς εἴδους· ἐν δὲ τοῖς ἀγγέλοις, καὶ τῆς μιᾶς οὖσι τάξεως, πρῶτοι εἰσὶ καὶ μέσοι καὶ τελευταῖοι κατὰ τὸν Διονύσιον· ἄλλως τε, διὰ τὸ μὴ εἶναι συνθέτους ἐξ ὕλης καὶ εἴδους, ὥσπερ ἀδύνατον ἂν ἦν λέγειν καὶ πλείους λευκότητας χωριστάς, ἢ πλείους ἀνθρωπότητας διὰ τὸ τὰς λευκότητας μὴ δύνασθαι πλείους εἶναι εἰ μὴ τῷ εἶναι ἐν πλείοσι δεκτικοῖς. Εἰ μέντοι καὶ ὕλην εἶχεν ὁ ἄγγελος, οὐδ' οὕτως ἂν ἠδύναντο πλείους ἄγγελοι εἶναι ἑνὸς εἴδους· ἦν γὰρ ἂν οὕτως ἀρχὴ τῆς διακρίσεως ἡ ὕλη οὐ τῇ τοῦ ποσοῦ διαιρέσει, ἀλλὰ τῇ τῶν προσώπων διαφορᾷ, ἥτις δὴ τῆς ὕλης διαφορὰ αἰτία ἐστὶν οὐ μόνον τῆς κατὰ τὸ εἶδος ἀλλὰ καὶ τῆς κατὰ τὸ γένος διαφορᾶς· καὶ ὅτι, ἐπεὶ τὸ τοῦ εἴδους ἀγαθὸν προτιμότερόν ἐστι τοῦ κατὰ τὸ ἄτομον ἀγαθοῦ, βέλτιόν ἐστι καὶ τοῖς ἀγγέλοις πολλαπλασιάζεσθαι κατὰ τὰ εἴδη ἢ τῷ πληθυσμῷ τῶν ἀτόμων ἐν ἑνὶ εἴδει.

5. Ὅτι ἄφθαρτοί εἰσιν· ὡς γάρ φησι Διονύσιος, ζωὴν ἔχουσιν ἀνεξάλειπτον, πάσης φθορᾶς καὶ θανάτου καὶ ὕλης καὶ γενέσεως ὑπάρχοντες καθαροὶ ὡς οὐσίαι νοεραί τε καὶ νοηταί· καὶ ὁ λόγος ἐστίν, ὅτι οὐδὲν φθείρεται εἰ μὴ τοῦ εἴδους τῆς ὕλης χωριζομένου· ὁ δὲ ἄγγελος αὐτό ἐστιν ὑφεστὼς εἶδος, ὅπερ οὐ δύναται ἀποβάλλειν τὸ εἶναι ὥσπερ ἐν οἷς τὸ εἶναι διὰ τὴν τοῦ εἴδους ἐν τῇ ὕλῃ ὕπαρξίν ἐστιν· σημεῖον δὲ τοδί, ὅτι ἡ τοῦ ὄντος ἐνέργεια δηλοῖ τὸν τοῦ εἶναι τρόπον· τὸ δὲ εἶδος καὶ ὁ λόγος τῆς ἐνεργείας ἐκ τοῦ ἀντικειμένου | καταλαμβάνεται· τὸ δὲ νοητὸν f. 221v ἀντικείμενον, ἁπλῶς ὑπὲρ χρόνον ὄν, αἰώνιόν ἐστιν. Ὅθεν πᾶσα νοερὰ οὐσία κατὰ τὴν αὐτῆς φύσιν καὶ ἄφθαρτός ἐστιν. Χάριτι δέ φησιν ὁ Δαμασκηνὸς τὴν ἀφθαρσίαν ἐν τοῖς ἀγγέλοις, τουτέστι τὴν ἀμεταβλησίαν, διὰ τὸ τὴν ἀπὸ τοῦ ἀγαθοῦ μεταβολὴν θάνατόν τινα εἶναι, χάριτι δὲ γενέσθαι τοὺς ἀγγέλους ἀμεταβλήτους ἐν τῷ ἀγαθῷ, μετὰ τὴν πτῶσιν τῶν πονηρῶν δαιμόνων.

## LI. — Περὶ τῆς πρὸς τὰ σώματα τῶν ἀγγέλων συγκρίσεως.

1.-2. Ὅτι οἱ ἄγγελοι, εἰ καὶ μὴ ἔχουσι φύσει σώματα αὐτοῖς ἡνωμένα· τέλειαι γὰρ οὖσαι ἐν τῷ γένει τῶν νοερῶν οὐσιῶν, οὐ δέονται ἑαυταῖς περιποιεῖσθαι τὴν γνῶσιν καὶ ἐπιστήμην ἐκ τῶν αἰσθητῶν, ὃ ταῖς ἀνθρωπίναις ψυχαῖς ἐστιν αἴτιον τοῦ σώμασιν ἑνοῦσθαι· ἀλλὰ προσλαμβά-

22-23 *ἐν οἷς*: *ἐν ἧς* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νουσι σώματα, ἐν οἷς φαίνονται, ὡς οἱ τῷ Ἀβραὰμ πεμφθέντες, οὐ κατὰ φαντασίαν φανέντες, ἀλλ' ἐν σώμασιν ἀληθῶς· ὤφθησαν γὰρ οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ τῷ Λώτ, καὶ τοῖς πολίταις Σοδόμων· καὶ ὁ τῷ Τωβίᾳ φανεὶς ἄγγελος ὑπὸ πάντων ἑωρᾶτο, ὥστε δῆλον κατὰ σωματικὴν ὅρασιν τοῦτο συμβῆναι, δι' ἧς τὸ ἔξω τῶν ὀφθαλμῶν κείμενον ὁρᾶται· οὕτω δὲ τὸ σῶμα μόνον ὁρᾶται. Προσλαμβάνουσι δὲ οὐκ αὐτοὶ δεόμενοι, ἀλλὰ δι' ἡμᾶς, ἵνα τῷ φιλικῶς μεθ' ἡμῶν διατρίβειν δεικνύωσι τὴν ἐν τῷ μέλλοντι ἐλπιζομένην νοερὰν μετ' αὐτῶν κοινωνίαν. Ἐκεῖνα δὲ τὰ ἐν τῇ παλαιᾷ καὶ ἔνδειξίς τις ἦν ἐσχηματισμένη τοῦ τὸν Υἱὸν τοῦ Θεοῦ σῶμα ἀνθρώπινον ἀναλήψεσθαι, οὐχ ὡς εἴδει δὲ τῷ ἀγγέλῳ ἑνοῦται τὸ προσληφθὲν σῶμα, οὐδὲ ὡς κινητικῷ μόνον, ἀλλ' ὥσπερ κινητικῷ δεικνυμένῳ διὰ τοῦ κινουμένου καὶ προσληφθέντος σώματος. Ἐπεὶ δὲ ὁ ἀὴρ πυκνούμενος καὶ σχηματίζεσθαι καὶ χρώννυσθαι δύναται, ὡς δῆλον ἐπὶ τῶν νεφῶν, ἐκ τοῦ ἀέρος ἀντιλαμβάνουσι, πυκνοῦντες αὐτὸν τῇ θείᾳ δυνάμει, ὅσον δεῖ πρὸς τὴν τοῦ ληφθησομένου μόρφωσιν.

3. Ὅτι οὐ πληροῦσιν ἐν τοῖς τοιούτοις σώμασι τὰ τῆς ζωῆς ἔργα· οὐδὲ γὰρ τὰ σώματα ἐκεῖνα λέγονται ζῆν· αὐτίκα οὐκ αἰσθάνονται ἐν αὐτοῖς οἱ ἄγγελοι. Οὐ μέντοι γε διὰ τοῦτο εἰκῇ μορφοῦνται ταῖς αἰσθήσεσι τὰ σώματα ἐκεῖνα· διὰ γὰρ τῶν τοιούτων ὀργάνων αἱ ἀσώματοι δυνάμεις ἐκφαίνονται, διὰ μὲν τοῦ ὀφθαλμοῦ δηλονότι ἡ γνωστικὴ τοῦ ἀγγέλου
f. 222 δύναμις, καὶ διὰ τῶν ἄλλων μελῶν αἱ ἄλλαι, ὡς Διονυσίῳ δοκεῖ. | Εἰ δὲ καὶ ὁ Θεὸς οὐ κινεῖται, κινουμένων τῶν ἐν οἷς ἐστι· πανταχοῦ γάρ ἐστιν· ἀλλ' οἱ ἄγγελοι κινοῦνται κατὰ συμβεβηκὸς πρὸς τὴν κίνησιν τῶν σωμάτων αὐτῶν· εἰσὶ γὰρ ἐν αὐτοῖς ὡς τὰ κινητικὰ ἐν τοῖς κινητοῖς. Διὰ τοῦτο, ὅτε εἰσὶν ἐνταῦθα, οὐκ εἰσὶν ἀλλαχοῦ. Οὔτε διαλέγονται οἱ ἄγγελοι ἐν τοῖς σώμασιν ἐκείνοις, κυρίως, ἀλλ' ἔστι τὸ γινόμενον ὅμοιον διαλέξει· τυποῦσι γὰρ ἤχους ἐν τῷ ἀέρι ὁμοίους ταῖς ἀνθρωπίναις φωναῖς.

Οὐδὲ τὸ ἐσθίειν αὐτοῖς προσήκει κυρίως· οὐ γὰρ μεταλαμβάνουσι τροφῆς δυναμένης μεταβάλλειν εἰς τὴν οὐσίαν τοῦ σώματος, οὐ τοιαύτης οὔσης τῆς φύσεως ἐκείνης τοῦ σώματος· ἦν δὲ ἡ βρῶσις ἐκείνη τῆς ἀσωμάτου βρώσεως σημαντική, ὥς φησι τῷ Τωβίᾳ ὁ ἄγγελος· „Ὅτε ἤμην μετὰ σοῦ, ἐδόκουν μὲν ἐσθίειν καὶ πίνειν· ἀλλ' ἐγὼ ποτῷ ἀοράτῳ καὶ τροφῇ χρῶμαι". Εἰ δὲ ἐν τῷ Χριστῷ ἡ μετὰ τὴν ἀνάστασιν τροφὴ οὐ μεταβέβληται εἰς τὴν οὐσίαν τοῦ σώματος, ἀλλ' εἰς τὴν προκειμένην ὕλην, ἀληθὲς ὅμως ὁ Χριστὸς εἶχε σῶμα, οὐχ οἷον τὸ ἀγγελικόν· τοιαύτης γὰρ φύσεως ἦν τὸ σῶμα ἐκεῖνο, εἰς ὃ δυνατὸν ἦν τὴν τροφὴν μεταβάλλειν. Ὅθεν ἀληθὴς ἦν βρῶσις ἐκείνη, ὥσπερ καὶ ἀληθὲς σῶμα ἐκεῖνο.

---

32 Tob. 12, 18-19

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LII. — Περὶ τοῦ τόπου τοῦ ἀγγέλου.

1. Ὅτι ὁ ἄγγελος ἐν τόπῳ ἐστὶν ὁμωνύμως τῷ σώματι· τὸ μὲν γὰρ τελευτᾷ εἰς τόπον κατὰ ἀφὴν διαστατῆς ποσότητος, ἥτις ἐν τοῖς ἀγγέλοις οὐκ ἔστιν, ἀλλὰ ποσότης δυνάμεως, ἧς ἡ πρός τινα τόπον ὁπώσποτε ἐπαφή, ἐν σωματικῷ τόπῳ ποιεῖ τὸν ἄγγελον λέγεσθαι· καὶ διὰ τοῦτο οὔτ' ἀνάγκη αὐτὸν μετρεῖσθαι τῷ τόπῳ, οὔτε θέσιν ἔχειν ἐν τῷ συνεχεῖ, ἃ προσήκει τοῖς σώμασιν· οὔτε μὴν περιέχεσθαι ὑπὸ τόπου, περιέχειν μὲν οὖν, ὡς καὶ ἡ ψυχὴ ἐν τῷ σώματι οὐχ ὡς περιεχόμενόν ἐστιν, ἀλλ' ὡς περιέχον μᾶλλον.

2. Ὅτι ἐν πλείοσιν ἅμα τόποις οὐ δύναται εἶναι διὰ τὸ πεπερασμένης εἶναι δυνάμεως καὶ οὐσίας, καὶ μὴ εἰς πλείω ἀλλ' εἰς ἕν τι ἑαυτὸν ἐκτείνειν. Εἰ δέ τις ἄγγελος τὸν οὐράνιον κινεῖ, οὐκ ἀνάγκη καὶ πανταχοῦ εἶναι· προσάγει γὰρ τὴν αὐτοῦ δύναμιν τῷ πρώτως κινουμένῳ τοῦ οὐρανοῦ μέρει, ἑνὶ ὄντι, ὅ ἐστι τὸ πρὸς ἀνατολάς. Ὅθεν τὸ μὲν σῶμα λέγεται εἶναί που περιγραπτῶς ὡς τῷ τόπῳ συμμετρούμενον· ὁ δ' ἄγγελος, ὡρισμένως. Οὕτω γάρ ἐστιν ἐν ἑνὶ ὡς μὴ δύνασθαι ἅμα καὶ ἐν ἄλλῳ εἶναι. Ὁ δὲ Θεός, οὔτε περιγραπτῶς οὔθ' ὡρισμένως· πανταχοῦ γάρ ἐστιν.

3. Ὅτι οὐδὲ ἐν ἑνὶ τόπῳ πλείους ἄγγελοι δύνανται εἶναι, οὐδὲν f. 222v
ἧττον ἢ οὐδὲ δύο ψυχαὶ ἐν τῷ αὐτῷ σώματι, ὡς ὁ λόγος, ὅτι ἀδύνατον δύο αἰτίας τελείας ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος εἶναι ἀμέσως, εἴτε εἰδικαὶ εἶεν, εἴτε κινητικαὶ προσεχῶς. Εἰ δὲ καὶ πολλοὶ τὴν ναῦν ἕλκουσιν καὶ ἀμέσως, ἀλλ' οὐδεὶς ἐξ αὐτῶν ἀρκεῖ τέλειον εἶναι κινητικόν, ἀλλὰ πάντες ἅμα ὡς εἷς εἰσι κινῶν, τῶν δυνάμεων πάντων μίαν ποιουσῶν ἐν τῇ συνόδῳ κίνησιν. Ὅθεν ἐπεὶ ὁ ἄγγελος ἐν τόπῳ διὰ τὸ τὴν αὐτοῦ δύναμιν ἀμέσως ἅπτεσθαι τοῦ τόπου ὡς τελείου περιέχοντος, ἕνα μόνον εἶναι ἄγγελον ἀνάγκη ἐν ἑνὶ τόπῳ.

## LIII. — Περὶ τῆς τοπικῆς κινήσεως τῶν ἀγγέλων.

3. Ὅτι δυνατὸν τοπικῶς κινεῖσθαι τὸν ἄγγελον, εἴπερ καὶ ἡ μακαρία ψυχή· τοῦ αὐτοῦ γὰρ λόγου, τὸ κινεῖσθαι ἀμφοῖν. Ἡ δὲ τοῦ Χριστοῦ ψυχὴ κατῆλθεν εἰς τὸν ᾅδην, ὡς πιστεύομεν βεβαίως· ὁμωνύμως δὲ τῷ σώματι, ὡς τὸ εἶναι ἐν τόπῳ, οὕτω καὶ τὸ κατὰ τόπον κινεῖσθαι τῷ ἀγγέλῳ· ὡς γάρ ἐστιν ἐν τόπῳ, οὐ συμμετρούμενος καὶ περιεχόμενος ὁμοίως τοῖς σώμασιν, ἀλλ' ὡς περιέχων μᾶλλον, οὕτως οὐδ' ἡ κίνησις αὐτοῦ συμμετρεῖται τῷ τόπῳ, οὔτ' ἔστιν, ὡς ὁ τόπος ἀπαιτεῖ, ὥστ' εἶναι τὴν συνέχειαν αὐτῆς ἐκ τοῦ τόπου· τοῦτο γὰρ προσήκει τοῖς σώμασιν· ἀλλ' ἐφάπτεται μὲν τῇ δυνάμει διαφόρων τόπων ἐν τῷ ἐφεξῆς, οὐχ ἅμα. Αἱ δὲ ἀφαὶ αὗται οὐ συνεχεῖς μὲν κυρίως, τρόπον δέ τινα καὶ συνεχεῖς· ἡ μὲν γὰρ

---

8 *περιεχόμενον* corrigé de *περιέχον* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καταλιμπάνει τὸν διαιρετὸν τόπον ἐν ᾧ πρότερον ἦν, συνεχεῖς· ᾗ δέ ποτε, καὶ ἅμα τὸν ὅλον τόπον καταλιμπάνων, ὅλῳ ἑτέρῳ ἅμα προσάγει ἑαυτόν, οὐ συνεχεῖς· δύναται γὰρ ἀμφότερα.

2. Ὅτι καθὸ μὲν ἡ κίνησις τοῦ ἀγγέλου οὐ συνεχής, διὰ τοῦ μέσου οὐκ ἔστι· καθὸ δὲ συνεχής, ἔστι διὰ τῶν μέσων· διὰ δὲ τὸ τὴν τοῦ ἀγγέλου οὐσίαν οὐκ εἶναι τόπῳ ὑποκειμένην ἢ περιεχομένην, ἀλλ' ὑπὲρ τὸν τόπον ὡς περιέχουσαν, ἐπ' αὐτῷ ἐστι προσαγαγεῖν ἑαυτὸν τῷ τόπῳ ὡς βούλεται ἢ διὰ τοῦ μέσου, ἢ ἄνευ τοῦ μέσου.

3. Ὅτι καὶ ἐν χρόνῳ κινεῖται· ἔστι γὰρ καὶ ἐν τῇ κινήσει αὐτοῦ τὸ πρότερον καὶ ὕστερον, ὅταν νοῆται κινούμενος συνεχῶς· καθὸ δέ ποτε καὶ οὐ συνεχῶς κινεῖται, θελήσας, ἐν ἑνὶ ἀτόμῳ δύναται εἶναι ἐν ἄλλῳ τόπῳ, οὐδενὸς χρόνου μεσιτεύοντος.

## LIV. — Περὶ τῆς γνωστικῆς αὐτῶν δυνάμεως.

1. Ὅτι τὸ νοεῖν τοῦ ἀγγέλου οὐκ ἔστιν ἡ αὐτοῦ οὐσία· πλέον γὰρ διαφέρει ἡ ἐνέργεια τοῦ πράγματος τῆς οὐσίας αὐτοῦ ἢ αὐτὸ τὸ εἶναι αὐτοῦ· οὐδενὸς δὲ κτιστοῦ εἶναί ἐστιν ἡ οὐσία αὐτοῦ. Τοῦτο γὰρ μόνον τοῦ Θεοῦ ἐστιν ἴδιον. Οὐδ' ἄρα τοῦ ἀγγέλου ἢ ἄλλου κτίσματος ἡ ἐνέργεια
f. 223 αὐτοῦ | ἐστιν ἡ οὐσία αὐτοῦ.

Ἔτι, ἡ ἐνέργεια κυρίως τὸ ἐνεργεῖν ἐστι τῆς δυνάμεως, ὥσπερ τὸ εἶναι, τὸ ἐνεργεῖν τῆς οὐσίας· ᾧ δὲ καὶ τὸ δυνάμει συμμέμικται οὐκ ἔστι ταὐτὸν τὸ εἶναι καὶ τὸ ἐνεργεῖν, διότι ἡ ἐντελέχεια καὶ τὸ ἐνεργεῖν ἀντίκειται τῷ δυνάμει. Εἰ δὴ τὸ νοεῖν τοῦ ἀγγέλου ἡ οὐσία ἦν, ὑφεστήκει ἂν καὶ τὸ νοεῖν αὐτοῦ· τὸ δὲ ὑφεστὼς νοεῖν ἓν μόνον ἐστίν, ὥσπερ καὶ πᾶν ἐξ ἀφαιρέσεως ὑφεστώς. Ὅθεν ἡ ἑνὸς ἀγγέλου οὐσία οὔτ' αὐτῆς τοῦ Θεοῦ οὐσίας διεκρίνετο, ἥτις ἐστὶ νοεῖν ὑφεστώς, οὔθ' ἑτέρου ἀγγέλου· οὐδ' ἂν ἦν βαθμὸς ἐν ἀγγέλοις, ὅς ἐστι κατὰ τὴν τελειοτέραν ἢ ἧττον τελείαν μετοχὴν αὐτοῦ τοῦ νοεῖν.

2. Ὅτι τὸ νοεῖν τοῦ ἀγγέλου οὐκ ἔστιν αὐτὸ τὸ εἶναι αὐτοῦ· διπλοῦς γὰρ ὄντος τοῦ γένους τῆς ἐνεργείας, ἢ τῆς εἰς τὰ ἔξω μεταβαινούσης, ὡς τὸ πρίζειν καὶ καίειν, ἢ τῆς μενούσης ἐν τῷ ποιοῦντι, ὡς τὸ αἰσθάνεσθαι καὶ νοεῖν καὶ θέλειν, οὔτε ἡ πρώτη δύναται εἶναι αὐτὸ τὸ εἶναι τοῦ ἐνεργοῦντος, διότι τὸ μὲν εἶναι ἵδρυται ἐν αὐτῷ, ἡ δὲ ἀπόρροια τοῦ ἐνεργοῦντός ἐστι πρὸς τὸ πάσχον· οὔτε ἡ δευτέρα· ἔχει γὰρ αὕτη ἀπειρίαν κατὰ τὸν αὐτῆς λόγον, ἢ ἁπλῶς, ἢ πῇ· ἁπλῶς μέν, ὥσπερ τὸ νοεῖν, οὗ ἀντικείμενον τὸ ἀληθές· καὶ τὸ θέλειν, οὗ ἀντικείμενον τὸ ἀγαθόν, ἀντιστρέφοντα τῷ ὄντι· καὶ οὕτω τὸ νοεῖν καὶ θέλειν, τὸ ἐν αὐτοῖς, πρὸς πάντα πεφύκασι καὶ ἑκάτερον ἐκ τοῦ ἀντικειμένου δέχεται τὸ εἶδος· τὸ δὲ αἰσθάνεσθαι ἄπειρόν ἐστί πῃ, ὅπερ οὕτως ἔχει πρὸς πάντα τὰ αἰσθητὰ ὡς ἡ ὄψις πρὸς τὰ ὁρατά. Ἀλλὰ τὸ κτιστὸν εἶναι πρὸς ἓν μόνον ὥρισται κατ' εἶδος

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ κατὰ γένος· τὸ θεῖον μόνον, ἄπειρον ἐν ἑαυτῷ· ὅθεν αὐτὸ μόνον ἐστὶ τὸ νοεῖν καὶ θέλειν αὐτοῦ.

3. Ὅτι ἡ ἐν τῷ ἀγγέλῳ νοερὰ δύναμις, καὶ ἡ ἐνέργεια, καὶ ἡ οὐσία διενηνόχασιν, ὡς ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν, εἴπερ κατὰ τὴν διαφορὰν τῶν ἐνεργειῶν καὶ ἡ διαφορὰ τῶν ἐνεργητικῶν ἐστι δυνάμεων.

4. Ὅτι οὐκ ἔστιν ἐν ἀγγέλῳ ὁ ἐνεργείᾳ νοῦς καὶ ὁ δυνάμει. Ἐν ἡμῖν γὰρ ταὐτά ἐστιν τῇ πρὸς τὰ φαντάσματα παραθέσει, ἃ πρὸς μὲν τὸν δυνάμει νοῦν παραβάλλονται ὡς τὰ χρώματα πρὸς τὴν ὄψιν· πρὸς δὲ τὸν ἐνεργείᾳ νοῦν, ὡς τὰ χρώματα πρὸς τὸ φῶς. Ὁ δὲ ἀγγελικὸς νοῦς ἄνευ φαντασμάτων νοεῖ, καὶ ἀεὶ νοεῖ, οὔποτε δυνάμει ἐστὶ τῇ πρὸς ἃ πέφυκε νοεῖν παραθέσει, καὶ τὰ νοητὰ αὐτῷ ἐνεργείᾳ εἰσὶ νοητά, τὰ ἄϋλα δηλονότι, ἃ πρώτως νοεῖ· ὁμωνύμως δὲ ταῦτα τίθεσθαι ἐγχωρεῖ καὶ ἐπὶ τῶν ἀγγέλων.

5. Ὅτι ἐν τοῖς ἀγγέλοις μόνη ἡ νοερὰ γνῶσις ἔστιν. Οὐ γὰρ ἔχουσι f. 223v
σώματα φύσει ἡνωμένα ὥστε καὶ τὰς ἄλλας τῆς ψυχῆς ἐνεργείας ἔχειν, αἳ διὰ σωματικῶν ὀργάνων πληροῦνται· καὶ διὰ τοῦτο μόνος ὁ νοῦς καὶ ἡ νοερὰ αὐτοῖς προσήκει θέλησις, διὰ τὴν τοῦ παντὸς τάξιν ἀναγκαίου ὄντος τὴν ὑπερκειμένην νοερὰν κτίσιν παντάπασι νοερὰν εἶναι, καὶ οὐκ ἐν μέρει, ὡς τὴν ἀνθρωπίνην ψυχήν· διὸ καὶ νοῖ καὶ νοήσεις καλοῦνται. Ἀποδίδονται δὲ ἐν τῇ Γραφῇ αὐτοῖς αἴσθησις μὲν διὰ τὴν βεβαίαν κατάληψιν, πεῖρα δὲ διὰ τὴν γνῶσιν τῶν μερικῶν γνωστῶν, μνήμην δέ, οὐχ ὡς μέρος τῆς αἰσθητικῆς ψυχῆς, ἀλλ' ὡς ἀναλογοῦν τι ταύτῃ ἐν τῷ νῷ διὰ τὸ ἀνεπίληστον ἐν αὐτοῖς. Ἀποδίδονται δὲ οὕτω ταῦτα οὐ κυρίως, ἀλλ' ὁμωνύμως.

## LV. — Περὶ τοῦ τρόπου τῆς ἀγγελικῆς γνώσεως.

1. Ὅτι οἱ ἄγγελοι οὐ γινώσκουσι πάντα τῇ ἑαυτῶν οὐσίᾳ· τοῦτο γὰρ τῷ Θεῷ μόνῳ προσήκει, ὅτι πάντα ἐν αὐτῇ τελείως εἰσὶν καὶ κατὰ τὸν ἴδιον λόγον ὡς ἐν πρώτῃ καὶ καθόλου δυνάμει ποιητικῇ, ἀφ' ἧς πρόεισι πᾶν ὅπερ ἂν ᾖ ἐν ἑκάστῳ ἴδιον ἢ κοινόν· διὸ καὶ ἰδίαν γνῶσιν ἔχει τῇ ἑαυτοῦ οὐσίᾳ περὶ πάντων. Ὁ δὲ ἀγγελικὸς νοῦς εἴδεσί τισι τελειοῦται πρὸς τὸ γινώσκειν τὰ πράγματα διὰ τὸ πεπερασμένον τὴν οὐσίαν αὐτοῦ καὶ μὴ περιέχειν ἐν ἑαυτῇ τὰ πεφυκότα γινώσκεσθαι πάντα, ὡρισμένην οὖσαν πρὸς γένος καὶ εἶδος, ἀλλ' ἢ μόνον περὶ πάντων εἰδέναι τι δύνασθαι κατὰ κοινὴν γνῶσιν, οὔ τοι γε περὶ πάντων ἰδίαν.

2. Ὅτι οὐ τοῖς ἀπὸ τῶν ὄντων λαμβανομένοις εἴδεσι νοοῦσιν, ἀλλὰ συμφυέσιν, τέλειοι ὄντες, καὶ οὐκ ἐκ διαδοχῆς προσλήψει τῶν εἰδῶν, ὡς αἱ

---

**32** *διὰ τὸ πεπερασμένον τὴν οὐσίαν* **sic A; *πεπερασμένον* est cependant douteux; peut-être faut-il lire *πεπερασμένην***

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ψυχαί, τελειούμενοι. Συμπεπλήρωται γὰρ αὐτοῖς ἡ οὐσία διὰ τῶν νοητῶν εἰδῶν, ὥστε πάντα νοεῖν, ἃ φύσει γινώσκειν δύνανται. Αἱ μὲν γὰρ ψυχαί, διὰ τὸ σώμασιν ἡνῶσθαι ὡς εἴδη, ἔχουσιν οἰκεῖον εἶναι τῷ σώματι, δι' ὅπερ ἁρμόττει αὐταῖς παρὰ τῶν σωμάτων καὶ δι' αὐτῶν τυγχάνειν τῆς νοερᾶς τελειότητος, εἰ μὴ μάτην ἥνωνται σώμασιν· οἱ δὲ ἄγγελοι, ἀπολελυμένοι καθάπαξ σωμάτων, τυγχάνουσι τῆς τελειότητος διὰ νοερᾶς τινος ἀπορροίας, ᾗ παρὰ Θεοῦ τὰ τῶν γνωστῶν ἔλαβον εἴδη ἅμα τῇ νοερᾷ φύσει, ὅς ἐστιν ἡ πάντων αἰτία καὶ ἐν ᾧ πρώτῳ αἱ τῶν ὄντων ὁμοιότητες ὑφεστᾶσιν.

3. Ὅτι οἱ ὑπερκείμενοι ἄγγελοι καθωλικωτέροις εἴδεσι νοοῦσι τῶν
f. 224 ὑποβεβηκότων. Ἐπεὶ γὰρ | τὸ τῆς θείας γνώσεως πλήρωμα ἐν ἑνὶ περιέχεται τῇ θείᾳ οὐσίᾳ, δι' ἧς ὁ Θεὸς πάντα γινώσκει, τὸ δὲ νοητὸν πλήρωμα ἐν τοῖς νοεροῖς κτίσμασιν ταπεινότερον εὑρίσκεται καὶ ἧττον ἁπλῶς, ἀνάγκη τὰ γινωσκόμενα τῷ Θεῷ δι' ἑνὸς τοὺς ἄλλους νοῦς διὰ πλειόνων γινώσκειν, καὶ τοσούτῳ πλέον διὰ πλειόνων, ὅσῳ καὶ πλέον ὁ νοῦς ταπεινότερος εἴη. Οὕτω τοίνυν οἱ ὑψηλότεροι τῶν ἀγγέλων δι' ἐλαττόνων εἰδῶν τὴν τῶν νοητῶν ὁλότητα καταλαμβάνειν δύνανται, καὶ τὰ ἐν αὐτοῖς εἴδη διὰ τοῦτο καθολικώτερα ὡς πρὸς πλείω ἐκτείνοντα ἑαυτά, ὥσπερ ἐν ἀνθρώποις εἰσί τινες τὴν νοερὰν ἀλήθειαν οὐ δυνάμενοι καταλαμβάνειν, εἰ μὴ καθ' ἕκαστα αὐτοῖς ἀναπτύσσοιτο, διὰ τὴν ἀσθένειαν τοῦ νοῦ· οἱ δὲ δυνατώτερον ἔχοντες ἐξ ὀλίγων πολλὰ δύνανται λαβεῖν. Εἰ δὲ τὸ γινώσκειν καθόλου ἀτελέστερόν τι δοκεῖ, καὶ μεταξὺ δυνάμεως καὶ ἐνεργείας, καὶ διὰ τοῦτο δοκεῖ μᾶλλον τοῖς ὑποδεεστέροις προσήκειν, ἀλλὰ τὸ καθόλου γινώσκειν τι διχῶς λέγεται· ἢ κατὰ τὸ γινωσκόμενον πρᾶγμα, τουτέστι τὴν καθόλου τοῦ πράγματος φύσιν, καὶ ἡ τοιαύτη γνῶσις ἀτελεστέρα ἐστίν· ἀτελεστέρα γὰρ περὶ ἀνθρώπου γνῶσις ἢ ὅτι ζῷόν ἐστιν ὁ ἄνθρωπος· ἢ κατὰ τὸν τοῦ γινώσκειν τρόπον, καὶ οὕτω τελειότερος νοῦς ἐστιν, ὃς δι' ἑνὸς καθόλου μέσου δύναται τὰ καθ' ἕκαστα ἰδίως γινώσκειν, ἢ ὁ μὴ δυνάμενος.

## LVI. — Περὶ τῆς γνώσεως, ᾗ γινώσκουσι τὰ ἄϋλα.

1. Ὅτι ὁ ἄγγελος, γινώσκει ἑαυτόν· ἐπεὶ γὰρ ἡ γνῶσις δι' εἴδους γίνεται, ὁ δὲ ἄγγελος, ἄϋλος ὤν, εἶδός τί ἐστιν ὑφεστώς, καὶ ἐνεργείᾳ νοητός, διὰ τοῦ ἑαυτοῦ εἴδους, ὅπερ ἐστὶν ἡ οὐσία αὐτοῦ, νοεῖ ἑαυτόν.

2. Ὅτι εἷς ἄγγελος γινώσκει τὸν ἕτερον· ὡς γὰρ Αὐγουστῖνός φησιν εἰς τὸ τῆς Γενέσεως γράμμα· „Τὰ ἐν τῷ Λόγῳ τοῦ Θεοῦ ἀϊδίως προϋφεστῶτα διχῶς ἐρρύησαν ἐξ ἐκείνου· ἕνα μὲν τρόπον εἰς τὸν ἀγγελικὸν νοῦν· ἄλλον δέ, ἵν' ὑποσταῖεν ἐν ταῖς ἰδίαις φύσεσιν. Προῆλθον δὲ εἰς τὸν ἀγγελικὸν νοῦν τῷ τὸν Θεὸν ἐνθεῖναι τῇ αὐτῶν διανοίᾳ τὰς τῶν πραγμάτων ὁμοιότητας, ἃς εἰς τὸ φυσικὸν εἶναι προήγαγεν· ἐν δὲ τῷ Θεοῦ Λόγῳ ἐξ ἀϊδίου ὑφεστήκασιν οἱ πάντων τῶν ὄντων λόγοι. Εἰσὶν οὖν οὕτως ἐν ἑκάστῳ ἀγγέλῳ οἱ λόγοι τῶν σωματικῶν καὶ τῶν ἀσωμάτων,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὕτω μέντοι γε ὥστε τοῦ μὲν ἰδίου εἴδους τὸν λόγον ἐντεθεῖσθαι ἑκάστῳ κατὰ τὸ οὐσιῶδες εἶναι καὶ νοερὸν | ἅμα, ὥστ' ἐν τῇ φύσει τοῦ εἴδους f. 224v αὐτοῦ ὑφεστάναι καὶ δι' ἑαυτοῦ νοεῖν ἑαυτόν· τῶν δ' ἄλλων σωματικῶν τε καὶ ἀσωμάτων τοὺς λόγους ἐντεθεῖσθαι κατὰ μόνον τὸ νοερὸν εἶναι, ἵνα δι' αὐτῶν νοῶσι τὰ ὄντα.

Ἰστέον δέ, ὅτι εἷς ἄγγελος γινώσκει τὸν ἕτερον διὰ τοῦ εἴδους αὐτοῦ, τοῦ ἐν τῷ νῷ τούτου ὄντος, ὅπερ εἶδος διαφέρει τοῦ ἀγγέλου, οὗ ἐστιν ὁμοιότης, οὐ κατὰ τὸ ὑλικὸν ἢ ἄϋλον εἶναι, ἀλλὰ κατὰ τὸ φυσικὸν ἢ ἐννοηματικὸν εἶναι. Αὐτὸς μὲν γὰρ ὁ ἄγγελος εἶδός ἐστιν ὑφεστὼς ἐν τῷ φυσικῷ εἶναι, οὐ μὴν καὶ τὸ εἶδος αὐτοῦ, ὅπερ ἐστὶν ἐν τῷ ἑτέρου ἀγγέλου νῷ· ἀλλ' ἐκεῖ εἶναι ἔχει νοερὸν μόνον, ὥσπερ καὶ τὸ τοῦ χρώματος εἶδος ἐν τῷ τοίχῳ ἔχει φυσικὸν εἶναι, ἐν δὲ τῷ μέσῳ τοῦ συλλογισμοῦ καὶ ἐν τῇ ψυχῇ, ἐννοηματικὸν μόνον.

3. Ὅτι διὰ τῶν ἰδίων φυσικῶν οἱ ἄγγελοι ἔχουσί τινα γνῶσιν περὶ Θεοῦ· δυνατώτεροι γάρ εἰσι τῶν ἀνθρώπων ἐν τῷ γινώσκειν· τοῖς δὲ ἀνθρώποις τοῦθ' ὑπάρχει, ὡς ἐν τῇ πρὸς Ῥωμαίους· „Τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς". Ἔτι, τριχῶς τι γινώσκεται· ἢ κατὰ παρουσίαν τῆς αὐτοῦ οὐσίας ἐν τῷ γινώσκοντι, ὥσπερ τὸ φῶς, ὅπερ ὁρᾶται ἐν τῷ ὀφθαλμῷ, καὶ ὡς εἴρηται τὸν ἄγγελον νοεῖν ἑαυτόν· ἢ κατὰ παρουσίαν τῆς ἑαυτοῦ ὁμοιότητος ἐν τῇ γνωστικῇ δυνάμει, ὡς ὁ λίθος ὁρᾶται ὑπὸ τοῦ ὀφθαλμοῦ διὰ τὸ τὴν τοῦ λίθου ὁμοιότητα ἐν τῷ ὀφθαλμῷ ἐκθρώσκειν· ἢ τῆς ὁμοιότητος τοῦ γνωστοῦ οὐκ ἀμέσως ἐκ τοῦ γνωστοῦ λαμβανομένης, ἀλλ' ἐξ ἑτέρου, ἐν ᾧ πρώτως ἐμφαίνεται, ὥσπερ ὅταν τὸν ἄνθρωπον ὁρῶμεν ἐν κατόπτρῳ. Τῇ οὖν πρώτῃ γνώσει ἔοικεν ἡ θεία γνῶσις, ᾗ διὰ τῆς ἑαυτοῦ οὐσίας νοεῖται. Οὕτω δὲ οὐδὲν τῶν κτισμάτων τοῖς ἰδίοις φυσικοῖς νοεῖ τὸν Θεόν. Τῇ τρίτῃ ἔοικεν ἡ γνῶσις ἣν ἔχομεν περὶ Θεοῦ ἐν τῇ παρούσῃ ζωῇ, ἥτις καὶ αἰνιγματώδης λέγεται. Τῇ δὲ μέσῃ ἔοικεν ἡ ἐν τοῖς ἀγγέλοις περὶ Θεοῦ γνῶσις διὰ τῶν ἑαυτῶν φυσικῶν, καὶ ἔοικε τῇ γνώσει δι' ἧς ὁρᾶται τὸ πρᾶγμα τῷ ἀπ' ἐκείνου ληφθέντι εἴδει. Ὡς γὰρ τῆς θείας εἰκόνος τῇ ἀγγελικῇ φύσει ἐμπεπηγμένης, διὰ τῆς ἑαυτοῦ οὐσίας γινώσκει τὸν Θεὸν ὁ ἄγγελος καθό ἐστιν ὁμοιότης τοῦ Θεοῦ, οὐ μέντοι αὐτὴν τὴν τοῦ Θεοῦ οὐσίαν ὁρᾷ, οὐδεμιᾶς κτιστῆς ὁμοιότητος ἀρκούσης παριστᾶν τὴν θείαν οὐσίαν. Μᾶλλον μέντοι ἔοικε τῇ αἰνιγματικῇ ἡ μέση, ὅτι ἐν τῇ ἀγγελικῇ φύσει ἐστί τι κάτοπτρον τὴν θείαν ὁμοιότητα παριστῶν.

## LVII. — Περὶ τῆς δευτέρας τῶν ἀγγέλων γνώσεως.

1. Ὅτι οἱ ἄγγελοι καὶ τὰ ὑλικὰ γινώσκουσιν. Ὁ γὰρ τοῦ ἀνθρώπου f. 225 νοῦς, ὑπὸ τὸν ἀγγελικὸν τῇ τάξει τῆς φύσεως ὤν, τοῦτο δύναται· πολλῷ

16 Rom. 1, 19

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἄρα μᾶλλον οἱ ἄγγελοι, διότι τὰ ὑλικὰ πάντα ἐν τοῖς ἀγγέλοις προϋφεστήκασιν, ἁπλουστέρον μέντοι καὶ ἀϋλότερον ἢ ἐν αὐτοῖς τοῖς πράγμασιν, πολλαπλούστερον δὲ καὶ ἀτελέστερον ἢ ἐν τῷ Θεῷ, ἐν ᾧ ὡς ἄκρᾳ τῶν ὄντων κορυφῇ πάντα ὑπερουσίως προϋφεστήκασι κατ' αὐτὸ τὸ ἁπλῶς αὐτοῦ εἶναι. Οἱ δ' ἄγγελοι κατὰ τὴν αὐτῶν φύσιν νοεροί εἰσιν· καὶ τὰ ἐν αὐτοῖς οὖν προϋφεστῶτα νοερῶς εἰσι καὶ νοητῶς ἐν αὐτοῖς. Ὅθεν γινώσκουσι τὰ ὑλικὰ τῷ ἐνεῖναι ταῦτα αὐτοῖς διὰ τῶν νοητῶν εἰδῶν τῶν συμφυῶν αὐτοῖς. Οἱ δ' ἄνθρωποι τὴν γνῶσιν τῶν ὑλικῶν ἐξ αὐτῶν λαμβάνουσι τῶν ὑλικῶν, ποιοῦντες αὐτὰ ἐνεργείᾳ νοητὰ τῷ χωρίζειν αὐτά.

2. Ὅτι καὶ τὰ μερικὰ νοοῦσιν. Ὡς γὰρ ὁ ἄνθρωπος τῷ μὲν νῷ τὰ καθόλου καὶ ἄϋλα, τῇ δὲ αἰσθήσει τὰ καθ' ἕκαστα καὶ σωματικὰ γινώσκει, διπλᾶς ἔχων δυνάμεις, οὕτως ὁ ἄγγελος μιᾷ νοερᾷ δυνάμει ἑκατέρων ἐστὶ γνωστικός. Ὅσῳ γάρ τι ἀνώτερον τῇ φύσει ἐστί, τοσούτῳ μᾶλλον ἡνωμένην δύναμιν ἔχει καὶ πρὸς πλείω ἐκτείνουσαν ἑαυτήν, ὡς ἐπ' ἄνθρωπον δῆλον. Τῇ γὰρ κοινῇ αἰσθήσει ὑπερκειμένῃ τῶν ἰδίων πάντα γινώσκει τὰ διῃρημένως ἑκάστῃ αἰσθήσει γνωστά, καὶ ἄλλο τι μηδεμιᾷ αἰσθήσει ληπτόν, ἤγουν τὴν διαφορὰν τοῦ λευκοῦ καὶ γλυκέος, καὶ ὁ τρόπος ἐστὶν οὗτος· ὡς γὰρ εἴρηται, ὥσπερ προχέονται παρὰ Θεοῦ τὰ ὄντα εἰς τὸ ὑποστῆναι ἐν ἑαυτοῖς, οὕτω καὶ εἰς τὸ εἶναι ἐν τῇ ἀγγελικῇ γνώσει. Ἀπερρύη δὲ τοῖς πράγμασιν ἐκ Θεοῦ οὐ μόνον τὸ εἰς τὴν καθόλου φύσιν ἀνῆκον, ἀλλὰ καὶ αἱ τῆς ἀτομότητος ἀρχαί· ἔστι γὰρ αἴτιος ὅλου τοῦ πράγματος ἑκάστῳ καὶ κατὰ τὴν ὕλην καὶ κατὰ τὸ εἶδος· ὡς δέ ἐστιν αἴτιος, οὕτω καὶ γινώσκει διὰ τὸ τὴν ἐπιστήμην αὐτοῦ αἰτίαν τῶν ὄντων εἶναι. Ὥσπερ τοίνυν ὁ Θεὸς τῇ ἑαυτοῦ οὐσίᾳ, τῇ δημιουργῷ τῶν ὄντων, ὁμοιότης αὐτῶν ὤν, δι' αὐτῆς πάντα γινώσκει καὶ κατὰ τὸ καθόλου καὶ κατὰ τὸ μερικόν, οὕτω καὶ οἱ ἄγγελοι διὰ τῶν παρὰ Θεοῦ ἐντεθέντων αὐτοῖς εἰδῶν, γινώσκουσι τὰ ὄντα οὐ μόνον ὅσον πρὸς τὴν καθόλου φύσιν, ἀλλὰ καὶ κατὰ τὸ καθ' ἕκαστα τούτων, καθόσον εἰσὶ πολλαπλαῖ παραστάσεις τῆς μονάδος ἐκείνης καὶ ἁπλουστάτης οὐσίας.

3. Ὅτι οὐ τὰ μέλλοντα γινώσκουσιν, ἴδιον γὰρ τοῦτο Θεοῦ. Ἐν τῷ Ἡσαΐᾳ· „Ἀναγγείλατε τὰ ἥξοντα εἰς τὸ μέλλον, καὶ γνωσόμεθα ὅτι θεοί ἐστε".

f. 225v Ἰστέον δέ, ὅτι διχῶς δύναται τὸ μέλλον γινώσκεσθαι· ἕνα μὲν τρόπον ἐν τῇ αἰτίᾳ αὐτοῦ, καὶ οὕτω τὰ μὲν ἐξ ἀνάγκης τῶν ἰδίων αἰτιῶν προϊόντα βεβαίως προγινώσκονται, ὡς τὸ τὸν ἥλιον αὔριον ἀνατελεῖν· τὰ δέ, ὡς ἐπὶ πλεῖστον, στοχαστικῶς γινώσκονται, ὡς ὁ ἰατρὸς τὴν τοῦ νοσοῦντος ὑγείαν προγινώσκει· τὰ δὲ ὡς ἐπ' ἔλαττον πάντῃ εἰσὶν ἄγνωστα, ὡς τὰ ἐξ αὐτομάτου καὶ τύχης· καὶ τούτῳ τῷ τρόπῳ γινώσκουσιν οἱ ἄγγελοι

31 Is. 41, 23

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰ μέλλοντα, ὅσῳ τὰς τῶν ὄντων αἰτίας καθολικώτερον καὶ τελειότερον ἴσασιν ἢ ἡμεῖς, ὡς οἱ ὀξύτερον τὰς αἰτίας τῶν νόσων εἰδότες ἰατροὶ βέλτιον προγινώσκουσι τὰς μελλούσας νόσους ἢ ἰατρείας αὐτῶν. Ἄλλον δὲ τρόπον ἐν ἑαυτοῖς γινώσκονται τὰ μέλλοντα, καὶ οὕτω μόνον τοῦ Θεοῦ γινώσκειν αὐτὰ πάντα. Πάντα γὰρ ἐν τῇ ἑαυτοῦ ἀϊδιότητι καθορᾷ, ἥτις, ἁπλῆ οὖσα, ὅλῳ τῷ χρόνῳ πάρεστι καὶ αὐτὸν συνελίσσει, καὶ διὰ τοῦτο μία τοῦ Θεοῦ νόησις φέρεται ἐπὶ πάντα ὥσπερ παρόντα, εἰ καὶ τῷ χρόνῳ διαφέροι, καὶ ὁρᾷ πάντα ἐν ἑαυτοῖς. Ὁ δὲ ἀγγελικὸς νοῦς, ἀποδέων τῆς θείας ἀϊδιότητος, οὐδὲ τὸ μέλλον γινώσκειν δύναται ὡς ἔστιν ἐν τῷ ἰδίῳ εἶναι. Εἰ γὰρ καὶ ὑπὲρ τὸν χρόνον ἐστίν, ᾧ αἱ σωματικαὶ κινήσεις μετροῦνται, ἀλλ' ἔστιν ἐν αὐτῷ χρόνος κατὰ τὸ ἐφεξῆς τῶν νοήσεων, καὶ οὕτως οὐ πάντα τὰ ἐν τῷ ὅλῳ χρόνῳ φερόμενα πάρεισιν αὐτῷ.

4. Ὅτι οὐδὲ τοὺς τῶν καρδιῶν γινώσκουσι διαλογισμούς· ἴδιον γὰρ τοῦ Θεοῦ τοῦτο, ὡς ἐν τῷ Ἱερεμίᾳ· „Ἐγὼ Κύριος ἐρευνῶν καρδίας“, διότι ἡ τῆς λογικῆς κτίσεως βούλησις μόνῳ τῷ Θεῷ ὑπόκειται, κἀκεῖνος μόνος εἰς αὐτὴν δύναται ἐνεργεῖν, ὅς ἐστιν ἀρχοειδὲς αὐτῆς ἀντικείμενον ὡς ἔσχατον τέλος, καὶ διὰ τοῦτο τὰ μόνης τῆς θελήσεως ἠρτημένα ἢ ἐν αὐτῇ ὄντα μόνῳ τῷ Θεῷ εἰσι γνωστά. Φανερὸν δέ, ὅτι μόνης τῆς βουλήσεως ἤρτηται τὸ ἐνεργείᾳ τινά τι θεωρεῖν. Ὅταν γάρ τις ἕξιν ἐπιστήμης ἔχῃ, ἢ νοητὰ εἴδη ἐν αὐτῷ ὑφεστῶτα, χρῆται τούτοις ὅταν βούληται, καὶ διὰ τοῦτό φησιν ὁ Ἀπόστολος· „Τὸ τοῦ ἀνθρώπου οὐδεὶς οἶδεν εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου, τὸ κατοικοῦν ἐν αὐτῷ“. Ἐπεὶ δὲ ὁ ἀνθρώπινος διαλογισμὸς γινώσκεται καὶ ἐν τῷ αὐτοῦ ἀποτελέσματι, οὕτως καὶ ὑπ' ἀνθρώπων γινώσκεται, καὶ ὑπὸ ἀγγέλων λεπτότερον, ὅσῳ καὶ συγκεκαλυμμένον εἴη· γινώσκεται γὰρ οὐ τῇ ἔξωθεν ἐνεργείᾳ μόνον, ἀλλὰ καὶ τῇ τοῦ προσώπου μεταβολῇ. Οὕτω καὶ ἰατροὶ γινώσκουσι ψυχικὰς διαθέσεις διὰ σφυγμοῦ, καὶ πολλῷ μᾶλλον οἱ ἄγγελοι, καὶ οἱ δαίμονες δὲ ἧττον, | f. 226 ὅσῳ λεπτότερον οἱ ἄγγελοι τῶν τοιούτων κεκρυμμένων μεταβολῶν συνιᾶσιν τῶν ἐν τῇ καρδίᾳ γινομένων ἐκ τοῦ νοῦ καὶ διὰ τῆς καρδίας ἐξαπλουμένων.

Ἰστέον δὲ ὅτι ὁ ἄνθρωπος οὐ γινώσκει τοὺς ἑτέρου διαλογισμούς, τῆς τε τοῦ σώματος παχύτητος κωλυούσης καὶ τῆς βουλήσεως ἀσφαλιζομένης ἐν ἀπορρήτῳ. Τὸ μὲν οὖν πρῶτον διάφραγμα ἐν τῇ ἀναστάσει ἀρθήσεται, καὶ οὐδ' ἐν ἀγγέλοις ἐστί· τὸ δὲ δεύτερον κώλυμα καὶ μετὰ τὴν ἀνάστασιν μενεῖ, καὶ νῦν ἐστιν ἐν ἀγγέλοις· τὴν μέντοι ποιότητα τοῦ νοῦ, ὅσον πρὸς τὴν τῆς χάριτος καὶ δόξης ποσότητα ἡ δόξα τοῦ σώματος παραστήσει· καὶ οὕτως εἰς τὴν ἑτέρου διάνοιαν δυνήσεται βλέπειν.

Καὶ ὅτι εἷς ἄγγελος τὰ τοῦ ἑτέρου νοητὰ εἴδη ὁρᾷ διὰ τὸ τὸν τρόπον τῶν νοητῶν εἰδῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον εἶναι καθόλου ἀναλόγως

---

14 Ier. 18, 19 21 I Cor. 2, 11

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἔχειν τῷ τῶν οὐσιῶν ἀξιώματι. Ἀλλ' οὐκ ἀνάγκη τόνδε τὸν ἄγγελον, γινώσκειν ὅπως τοῖς νοητοῖς ἐκείνοις εἴδεσι χρῆται ὁ ἕτερος τῷ κατ' ἐνέργειαν θεωρεῖν.

5. Ὅτι οὐ γινώσκουσι τὰ τῆς χάριτος μυστήρια τῇ φυσικῇ γνώσει διὰ τῆς αὐτῶν οὐσίας καὶ τῶν συμπεφυκότων εἰδῶν, ἠρτημένα τῆς ἁπλῆς τοῦ Θεοῦ βουλήσεως. Κατὰ τὸν Παῦλον γάρ· „Οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ, τὸ ἐν αὐτῷ". Ἀποκαλύψεως δὲ γνώσει ἐπίστανται οὔτε πάντα, οὔτε πάντες ἐπίσης, ἀλλὰ καθὼς ἂν αὐτοῖς ὁ Θεὸς ἀποκαλύψαι θελήσειεν, ὥστε τοὺς ὑπερκειμένους ἐποπτικώτερον θεωροῦντας τὴν θείαν σοφίαν πλείω καὶ ὑψηλότερον μυστήριον ἐν αὐτῇ τῇ θεωρίᾳ γινώσκειν, ἃ τοῖς ὑποβεβηκόσι φανεροῦσι τῷ φωτίζειν αὐτούς. Ταῦτα δὲ τινὰ μὲν ἐξ ἀρχῆς τῆς σφῶν αὐτῶν παραγωγῆς, τινὰ δὲ μετὰ ταῦτα ἔμαθον κατὰ τὸ συμβαῖνον τοῖς αὐτῶν λειτουργήμασιν· τὸ δὲ μυστήριον τῆς σαρκώσεως, καθόσον μὲν ἀποκεκάλυπτο πᾶσιν ἀπ' ἀρχῆς ὡς ἀρχή τις πρὸς ἣν πᾶσα τέτακται ἡ τούτων διακονία· „Πάντες γάρ εἰσι, κατὰ Παῦλον, λειτουργικὰ πνεύματα ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν βασιλείαν", ὃ διὰ τοῦ μυστηρίου τῆς σαρκώσεως γίνεται. Ὅσον δὲ πρὸς τὰ κατὰ μέρος ἰδιώματα αὐτοῦ οὐ πάντες ἐξ ἀρχῆς ᾔδεσαν, ἀλλ' ἔνιοι, καὶ τῶν ὑπερκειμένων, μετὰ ταῦτα μεμαθήκασιν, ὡς ἐν τῷ Ἡσαΐᾳ ἐρωτῶσι· „Τίς ὁ παραγενόμενος ἐξ Ἐδώμ;", καὶ ὁ Ἰησοῦς ἀποκρίνεται· „Ἐγὼ διαλέγομαι δικαιοσύνην".

Ἰστέον δέ, ὅτι τὴν θείαν σοφίαν ὁρῶσιν, ἀλλ' οὐ περιληπτικῶς· ὅθεν οὐ πᾶν τὸ ἐν αὐτῇ κεκρυμμένον ὁρῶσιν.

f. 226v

## LVIII. — Περὶ τοῦ τρόπου τῆς ἀγγελικῆς γνώσεως.

1. Ὅτι ὁ ἀγγελικὸς νοῦς οὐκ ἔστιν ἐν δυνάμει, εἰ τὸ ἐν δυνάμει νοοῖτο ὡς τὸ πεφυκέναι ἔχειν καὶ μὴ ἔχειν πω· ἔστι γὰρ ἡ νοερὰ δύναμις αὐτῶν διόλου πεπληρωμένη νοητῶν καὶ συμφυῶν εἰδῶν, ἐφ' ἃ φύσει ἐκτείνεται, ὡς καὶ τὰ ἀνωτάτω σώματα ἔχουσι δύναμιν πρὸς τὸ οἰκεῖον εἶναι πεπληρωμένην· ὅσον δὲ πρὸς τὰ ἀποκαλυπτά, καὶ τοιοῦτον δυνάμει νοῦν ἔχουσιν. Εἰ δὲ τὸ ἐν δυνάμει νοοῖτο ὡς τὸ ἔχειν καὶ μήπω θεωρεῖν, ἐν δυνάμει ἐστίν· καὶ ἃ γὰρ τῇ φυσικῇ γνώσει γινώσκει οὐκ ἂν ἐνεργείᾳ θεωρεῖ, ἀλλὰ πρὸς τὴν τοῦ Λόγου καὶ τῶν ἐν αὐτῷ θεωρουμένων τὴν γνῶσιν ἀεὶ ἐνεργείᾳ ἐστίν, ἀεὶ ἐνεργείᾳ θεωρῶν τὸν Λόγον, καὶ ἀεὶ ἐν αὐτῷ ὁρῶν· ὃ ἡ μακαριότης αὐτῷ, οὐκ ἐν ἕξει ἀλλ' ἐνεργείᾳ συνισταμένη. Εἰ δὲ λέγονται οἱ ἄγγελοι ἐπιθυμεῖν παρακύψαι, ὡς ἐν τῇ πρώτῃ Πέτρου, οὐ διὰ τὸ πόρρω κεῖσθαι τὸ ἐφετόν, ἀλλὰ διὰ τὴν δυσχέρειαν, οὐ μέντοι

---

6 I Cor. 2, 11 15 Heb. 1, 14 19 Is. 63, 1 25 Titre en marge dans A: *Περὶ τοῦ ὅπως νοοῦσιν* 36 I Pet. 1, 12

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀδυναμίαν, ἢ κατὰ τὰς καινὰς ἀποκαλύψεις, αἳ θεόθεν δέχονται κατὰ τὸ δέον τοῖς οἰκονομηθησομένοις.

2. Ὅτι οἱ ἄγγελοι δύνανται ὁμοῦ πλείω νοεῖν τῇ γνώσει ᾗ γινώσκουσι τὰ ὄντα διὰ τῶν συμπεφυκότων εἰδῶν· νοοῦσι δὲ ὁμοῦ πάντα, ἃ ἐνὶ εἴδει γινώσκονται, ἀλλ᾽ οὐχ ἐκεῖνα ἃ διαφόροις· τῇ δὲ γνώσει ᾗ διὰ τοῦ Λόγου τὰ ὄντα γινώσκουσιν, ἑνὶ νοητῷ εἴδει, τουτέστι τῇ θείᾳ οὐσίᾳ, πάντα γινώσκουσιν ὁμοῦ, ὥσπερ καὶ οἱ μακάριοι ἄνθρωποι οὐκ ἀφ᾽ ἑτέρων εἰς ἕτερα στρέφονται τοῖς λογισμοῖς, ἀλλὰ πᾶσαν τὴν ἐπιβάλλουσαν ἐπιστήμην ὁμοῦ καὶ μιᾷ ἐπιβολῇ ὁρῶσιν.

3. Ὅτι οὐ νοοῦσι μεταβατικῶς. Ὡς γὰρ τὰ οὐράνια σώματα, εὐθὺς ἐξ αὐτῆς τῆς φύσεως τὴν ἐσχάτην ἔχοντα τελειότητα, ὑπέρκειται τῶν γηΐνων, τῶν διὰ μεταβολῆς καὶ κινήσεως τυγχανόντων αὐτῆς, οὕτως οἱ τῶν ἀνθρώπων νοῖ μεταβάσει τινὶ τῆς νοερᾶς ἐνεργείας τὴν τελείαν γνῶσιν τῆς ἀληθείας λαμβάνουσιν, ἀφ᾽ ἑνὸς γνωστοῦ πρὸς ἕτερον προβαίνοντες. Οἱ δὲ ἀγγελικοὶ νοῖ, ἐν οἷς πρώτως φύσει γινώσκουσιν, ἐν αὐτοῖς ἐποπτεύουσι πάντα τὰ πεφυκότα δι᾽ αὐτῶν γινώσκεσθαι· διὸ καὶ νοεροὶ λέγονται, ὡς καὶ ἡμεῖς νοεῖν λεγόμεθα τὰ πρῶτα καὶ φύσει νοητὰ νοοῦντες· ὅθεν νοῦς λέγεται ἕξις τῶν ἀρχῶν. Ἕως δ᾽ ἂν τὴν γνῶσιν ποριζώμεθα μεταβάσει, λογίζεσθαι καὶ λογικοὶ λεγόμεθα εἶναι, διὰ τὴν τοῦ νοητοῦ φωτὸς ἀσθένειαν οὐ δυνάμενοι σὺν τῇ πρώτῃ ἐπιβολῇ τῶν ἀρχῶν ὅλην τὴν αὐτῶν καταλαμβάνειν δύναμιν καὶ | σκοπεῖν πᾶν ὅπερ δυνατὸν ἐξ f. 227
αὐτῶν συλλογίζεσθαι, ὥσπερ οἱ ἄγγελοι. Εἰ δὲ καὶ συλλογίζεσθαι δύνανται, ὡς τὸν συλλογισμὸν εἰδότες, καὶ ἐν ταῖς αἰτίαις ὁρῶσι τὰ ἀποτελέσματα, καὶ ἐν αὐτοῖς αὖ τὰς αἰτίας, ἀλλ᾽ οὐ θηρεύουσι τῷ συλλογισμῷ τὴν ἀλήθειαν πρὶν ἀγνοουμένην ἐκ τῶν αἰτίων εἰς τὰ αἰτιατὰ καὶ ἀνάπαλιν μεταβαίνοντες.

4. Ὅτι οὐ νοοῦσι τῷ συντιθέναι καὶ διαιρεῖν. Ὡς γὰρ ἐν τῷ ἡμετέρῳ νῷ συλλογιζομένῳ τὸ συμπέρασμα πρὸς τὴν ἀρχὴν παραβάλλεται, οὕτως ἐν τῷ συντιθέντι καὶ διαιροῦντι νῷ τὸ κατηγορούμενον πρὸς τὸ ὑποκείμενον· εἰ γὰρ ἐν τῇ πρώτῃ ἀρχῇ ἑώρα τοῦ συμπεράσματος τὴν ἀλήθειαν, οὐδέποτ᾽ ἂν ἐνόει συλλογιζόμενος καὶ μεταβαίνων, καὶ εἰ ἐν τῇ τῆς οὐσίας καταλήψει αὐτίκα ἐνόει πάντα τὰ ἀποφασκόμενα ἢ καταφασκόμενα τοῦ ὑποκειμένου, οὐδέποτ᾽ ἂν ἐδεῖτο νοεῖν τῷ συντιθέναι καὶ διαιρεῖν, ἀλλὰ μόνον τῷ νοεῖν τὸ τί ἦν εἶναι, ὥστε ἐκ τοῦ αὐτοῦ τῷ ἡμετέρῳ νῷ τότε μεταβατικῶς νοεῖν, τότε συντιθέντα καὶ διαιροῦντα νοεῖν ἐκ τοῦ μὴ αὐτίκα ἐν τῇ πρώτῃ ἐπιβολῇ τοῦ πρώτου καταληπτοῦ τινος δύνασθαι καθορᾶν τί δυνάμει περιέχεται ἐν αὐτῷ διὰ τὴν ἀδυναμίαν τοῦ ἐν ἡμῖν νοεροῦ φωτός, οὗ ἐν ἀγγέλοις τελείου ὄντος — κάτοπτρον γὰρ ὁ ἀγγελικὸς νοῦς διαφανὲς καὶ πάνυ καλόν, ὡς Διονύσιος λέγει —, ὡς νοεῖ ὁ ἄγγελος μὴ συλλογιζόμενος, οὕτως οὐδὲ τῷ συντιθέναι καὶ διαιρεῖν. Ἀλλ᾽ οὐδὲν ἧττον



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ τὴν σύνθεσιν καὶ διαίρεσιν καὶ τὴν ἀπόφασιν οἶδεν, ὥσπερ καὶ τὴν τῶν συλλογισμῶν συνθήκην· ἁπλῶς γὰρ νοεῖ τὰ σύνθετα, καὶ ἀκινήτως τὰ κινητά, καὶ τὰ ὑλικὰ ἀΰλως· διὸ καὶ τῷ νοεῖν τὸ τί ἦν εἶναι νοεῖ καὶ πᾶν ὅπερ ἡμεῖς νοοῦμεν τῷ συντιθέναι καὶ διαιρεῖν, μιᾷ καὶ ἁπλῇ αὐτοῦ νοήσει.

5. Ὅτι ἐν τῷ ἀγγελικῷ νῷ, οὐ δύναται εἶναι ψεῦδος. Κατὰ τὸν Φιλόσοφον γάρ, ὁ νοῦς ἀεὶ ἀληθής ἐστιν· οἱ δ' ἄγγελοι τῷ νοεῖν μόνον γινώσκουσιν.

Ἔτι, ὁ ἄγγελος οὐ νοεῖ τῷ συντιθέναι καὶ διαιρεῖν, ἀλλὰ τὸ τί ἦν εἶναι γινώσκων καὶ νοῶν, περὶ ὃ ἀληθής ἐστιν ὁ νοῦς, ὡς καὶ ἡ αἴσθησις περὶ τὸ ἴδιον αἰσθητόν. Ἀλλὰ κατὰ συμβεβηκὸς ἡμᾶς περὶ αὐτὸ ἀπατᾶσθαι καὶ ψεύδεσθαι συμβαίνει, ὅταν τὰ σύνθετα ὁριζώμεθα, ὧν ὁ ὁρισμὸς ἐκ διαφόρων, ἐν οἷς ἔνεστιν ὑλικὸν πρὸς τὰ ἄλλα. Ἀλλ' ἐν τῷ νοεῖν τὰς ἁπλᾶς οὐσίας ἢ παντελῶς οὐκ ἐφάπτεται αὐτῶν ὁ νοῦς, ἢ γινώσκει ὡς εἰσίν, καὶ οὕτως ἀδύνατον καθ' αὑτὸ ψεύδεσθαι τὸν ἀνθρώπινον νοῦν,
f. 227v | καὶ ἔτι μᾶλλον τὸν ἀγγελικόν, κατὰ συμβεβηκὸς μέντοι, πλὴν οὐχ ὁμοίως ἡμῖν. Ἡμεῖς μὲν γὰρ ἐνίοτε τῷ συντιθέναι καὶ διαιρεῖν ἐπὶ τὴν τῆς οὐσίας πρόϊμεν ἔννοιαν, ὡς ὅταν τῷ διαιρεῖν καὶ ἀποδεικνύειν τὸν ὁρισμὸν ἀνιχνεύωμεν· οἱ δ' ἄγγελοι ἀεὶ τῷ τί ἦν εἶναι τοῦ πράγματος τὰς ἀνηκούσας αὐτῷ ἀποφάνσεις νοοῦσι πάσας, ὅ ἐστιν ἀρχὴ τοῦ γινώσκειν τὰ φύσει προσόντα τινί, ἢ μὴ προσόντα, οὐ μὴν καὶ τὰ τῆς ὑπερφυοῦς τάξεως ἠρτημένα. Ἀλλ' οἱ μὲν ἀγαθοὶ ἄγγελοι, εὐθεῖαν ἔχοντες θέλησιν, οὐ κρίνουσιν οὕτως περὶ ἑκάστου, μὴ πρότερον τῆς θείας τάξεως τηρουμένης· διὸ ἀδύνατον πλανᾶσθαι ἢ ψεύδεσθαι αὐτούς· οἱ δὲ δαίμονες, θελήσει διεστραμμένῃ τὸν νοῦν τῆς θείας σοφίας ἀπάγοντες, πολλάκις περὶ τῶν πραγμάτων ἁπλῶς κρίνουσι κατὰ τὴν φυσικὴν αὐτῶν τάξιν· καὶ ἐν μὲν τοῖς φύσει ἑπομένοις οὐκ ἀπατῶνται, ἀλλ' ἐν τοῖς ὑπερφυέσιν, ὥσπερ εἰ θεωροῦντες νεκρὸν ἄνθρωπον, κρίνοιεν μὴ ἀναστησόμενον, καὶ ὁρῶντες τὸν Χριστὸν ἄνθρωπον, κρίνοιεν μὴ εἶναι Θεόν.

6. Ὅτι κατὰ τὸν Αὐγουστῖνον ἐν ἀγγέλοις ἑωθινὴ καὶ ἑσπερινὴ γνῶσις ἐστίν. Ὡς γὰρ ἐν τῇ ἡμέρᾳ τῇ εἰωθυίᾳ τὸ μὲν πρωῒ ἀρχὴ τῆς ἡμέρας, τὸ δὲ τέλος ἡ ἑσπέρα, οὕτως ἡ μὲν ἀρχηγικὴ τῆς προόδου τῶν ὄντων γνῶσις, τουτέστιν ᾗ εἰσι τὰ πράγματα ἐν τῷ Λόγῳ, ἑωθινὴ λέγεται· ἡ δὲ γνῶσις τοῦ αἰτιατοῦ ὡς ἐν τῇ ἰδίᾳ ὑφέστηκε φύσει, ἑσπερινή· τὸ γὰρ εἶναι τῶν ὄντων ἐρρύη μὲν ἀπὸ τοῦ Λόγου ὡς ἀπό τινος πρωτίστης ἀρχῆς· τὸ δὲ ῥεῦμα τοῦτο τελευτᾷ, εἰς τὸ εἶναι αὐτῶν, ὃ ἐν τῇ ἰδίᾳ ἔχουσι φύσει.

7. Διενηνόχασι δὲ αἱ γνώσεις αὗται ἐν ἀγγέλῳ, εἴπερ ἑσπερινὴ γνῶσις νοοῖτο ᾗ νοοῦσι τὰ ὄντα καὶ τὸ ἐν αὐτοῖς εἶναι διὰ τῶν συμπεφυκότων σφίσιν εἰδῶν μόνον· εἰ δὲ νοοῖτο καθὸ καὶ τῷ ὁρᾶν τὸν Λόγον νοοῦσι

Ε.Υ.Δ της Σ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ εἶναι τῶν πραγμάτων ὃ ἔχουσιν ἐν τῷ Λόγῳ — διχῶς γὰρ οὕτω τὸ εἶναι τῶν ὄντων γινώσκουσιν —, ἡ αὐτή ἐστιν ἡ ἑσπερινὴ τῇ ἑωθινῇ.

Ἰστέον δὲ ὅτι Αὐγουστῖνος ταῖς ἓξ ἡμέραις τῆς Γενέσεως οὐ τὰς εἰωθυίας ταύτας ἡμέρας νοεῖ διὰ τὸ τὸν ἥλιον τῇ τετάρτῃ ἡμέρᾳ γενέσθαι, (φησίν), ἀλλὰ τὴν ἀγγελικὴν γνῶσιν περὶ τῶν ἓξ γενῶν τοῦ ὄντος, τὴν δὲ μονάδα τῆς ἡμέρας λαμβάνει κατὰ τὴν τοῦ γνωστοῦ πράγματος μονάδα, ἥτις διαφέροις γνώσεσι γινώσκεσθαι δύναται.

## LIX. — Περὶ τῆς ἀγγελικῆς θελήσεως. f. 228

1. Ὅτι ἔστιν ἐν ἀγγέλοις θέλησις. Ὡς γὰρ Αὐγουστίνῳ δοκεῖ ἐν τετάρτῳ περὶ Τριάδος, ἡ τῆς θείας Τριάδος εἰκὼν εὑρίσκεται ἐν τῷ νῷ κατά τε τὴν μνήμην, τὴν νόησιν καὶ τὴν βούλησιν. Εἰ οὖν ἐν τῷ ἀνθρωπίνῳ, καὶ ἐν τῷ ἀγγελικῷ διὰ τὸ καὶ αὐτὸν δεκτικὸν εἶναι τοῦ Θεοῦ. Ἰστέον γὰρ ὡς, ἐπεὶ ἐκ τῆς θείας θελήσεως πάντα προΐασιν, πάντα κατὰ τὸν αὐτοῖς οἰκεῖον τρόπον πρὸς τἀγαθὸν δι' ἐφέσεως ῥέπουσιν, ἀλλὰ διαφόρως· τινὰ μὲν γάρ, μόνῃ τῇ φυσικῇ σχέσει, ἄνευ γνώσεως, ὡς τὰ φυτὰ καὶ τὰ ἄψυχα σώματα, καὶ αὕτη ἡ ῥοπὴ φυσικὴ ἔφεσις λέγεται· ἔνια δὲ καὶ μετὰ γνώσεως, οὐ μὴν αὐτὸν τὸν τοῦ ἀγαθοῦ λόγον γινώσκοντα, ἀλλά τι μερικὸν ἀγαθόν, καὶ ἡ τοιαύτη ῥοπὴ αἰσθητικὴ ἔφεσις ὀνομάζεται· ἄλλα δέ, μετὰ τοῦ γινώσκειν αὐτὸν τὸν τοῦ ἀγαθοῦ λόγον, καὶ τοῦτ' ἔστι τοῦ νοῦ ἴδιον, καὶ αὕτη ἐστὶν ἡ νοερὰ ἔφεσις, ἐπὶ τἀγαθὸν τελεία οὖσα ῥοπὴ ὡς ὑφ' ἑαυτῆς καὶ εἰς τὸ καθόλου ῥέπουσα ἀγαθόν. Αὕτη τοίνυν ἡ πρὸς τὸ ἀγαθὸν καθόλου ῥοπὴ θέλησις λέγεται, ἣ ἐν ἀγγέλοις ἐστίν, ἅτε διὰ τοῦ νοῦ αὐτὸν εἰδόσι τὸν καθόλου λόγον τοῦ ἀγαθοῦ.

2. Ὅτι ἐν τοῖς ἀγγέλοις ἡ θέλησις διαφέρει τοῦ νοῦ καὶ τῆς φύσεως. Ἐκεῖ γὰρ μόνον ταὐτόν ἐστιν ἡ οὐσία τῇ θελήσει, ὅπου παντάπασι τὸ ἀγαθὸν ἐν τῷ εἶναι τῆς θελήσεως περιέχεται, ὥσπερ ἐν τῷ Θεῷ, ὃς οὐδὲν ἄλλο θέλει ἔξω ἑαυτοῦ, καὶ τὰ ἄλλα θέλει τῷ λόγῳ τῆς ἰδίας ἀγαθότητος, ὅπερ ἀδύνατον περί τινος κτίσματος λέγεσθαι διὰ τὸ ἄπειρον ἀγαθὸν ἔξω τῆς οὐσίας τῶν κτισμάτων εἶναι. Οὐ μόνον δὲ τῆς φύσεως διαφέρει ἡ θέλησις, ἀλλὰ καὶ τοῦ νοῦ ἔν τε ἀγγέλῳ καὶ ἐν ἀνθρώπῳ· τὸ γὰρ γνωστόν ἐστιν ἐν τῷ γινώσκοντι, ἡ δὲ θέλησις ἐπὶ τὸ ἐξωτερικὸν φέρεται. Ἄλλης δὲ δυνάμεως ἐστὶν ἔχειν ἐν ἑαυτῷ ὅπερ ἐστὶν ἔξω ἑαυτοῦ, καὶ αὐτὸ εἴς τι ἐξωτερικὸν φέρεσθαι, καὶ διὰ τοῦτο ἐν τοῖς κτίσμασιν ἄλλο ὁ νοῦς καὶ ἡ βούλησις, ἀλλ' οὐκ ἐν τῷ Θεῷ, ὃς ἔχει τὸ καθόλου καὶ τὸ ὂν καὶ τὸ ἀγαθὸν ἐν ἑαυτῷ, καὶ διὰ τοῦτο ἡ βούλησις καὶ ὁ νοῦς καὶ ἡ οὐσία αὐτοῦ ἕν εἰσιν.

3. Ὅτι ἔστιν ἐν αὐτοῖς αὐτεξούσιον, εἴ γε καὶ ἐν ἀνθρώποις. Οὔτε γὰρ ὑφ' ἑτέρων κινοῦνται καὶ οὐ κρίσει οἰκείᾳ, ὡς τὸ βέλος ὑπὸ τοῦ τοξότου, οὔτε κρίσει μὴ ἐλευθέρᾳ, ὡς τὸ πρόβατον φεύγει τὸν λύκον



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006